πονηρία πῶς ἂν ἐννοήσοι τὴν ἀγαθότητα; Τὸ ψεῦδος λέ-
γειν φεύγει τὴν ἀλήθειαν. Καὶ πῶς σὺ σαυτῷ πιστεύεις
λέγοντι, τοῦ ψεύδους ὑπάρχων ἐργαστήριον; ἐγὼ δέ σε φρο-
l. ἐξιὼν νεῖν τἀναντία, ὧν λέγεις, ἐξιὼν καὶ νομίζων, πολύ σω-
φρονέστερον ἂν καὶ συνετώτερον εἰσάγω, ἢ εἴ τις σε στέρ-
γειν, ἃ λέγεις, τίθησιν. Εἰ γὰρ ἐκ πονηρῶν ὀργάνων
ταῦτα, καὶ διὰ τοῦτο πονηρὰ καὶ ψευδῆ· πῶς, ὡς ἐκ κη-
χῆς, οὐ πολλῷ κουφότερον τὰ ἐναντιώτατα τῶν ῥημά-
των πρεσβεύειν, ἢ τῇ γλώττῃ καὶ τὸν νοῦν συνδιαφθεί-
ρεσθαι; Δύο λέγει ἀρχάς. Μίαν προσῆκε φρονεῖν. Πολέ-
μιος ὁ νόμος τῇ χάριτι. Τὴν συμφωνίαν κηρύττων αὐ-
τῶν. Τῶν προφητῶν φαῦλος ὁ χορός. Καὶ πόθεν ἄν τις
γνοίη μᾶλλον, ὅτι Χριστός; Τὸ σῶμα πλάττει τοῦ πονη-
ροῦ. Ἀρκεῖ πρὸς τελευταίαν ἀπόδειξιν, ὅτι παλάμης ἐστὶ
τῆς ἀγαθουργοῦ. Ὁρᾶτε τὸ τῆς ἀνοίας βάθος, τὸ μέγεθος
τῆς ἀθεότητος, τῶν μὴ δυναμένων ἔχειν λογισμῶν, οὐδ'
ἐπὶ φαντασίαις πλαττομέναις ὑπόστασιν. Οὐκοῦν οὐδ' ἐπᾴ-
δειν ὅλως δεῖ ταῖς ἀρχαῖς, ὅτι τὸ αὐτὸ τῆς αἰτίας,
(ἀνίατον εἴποι τις ἄν,) ταύτας ἐπινέμεται. Μικροῦ γε φαί-
del. ην ἂν ἔγωγε, εἰ μὲν γὰρ τῇ τῶν σωτηρίων ἐπῳδῶν πα-
ραδέξηται, ἀρχὴν λαμβάνει πρὸς τὴν προτέραν ἐπα-
ναδραμεῖν εὐγένειαν· εἰ δὲ μή, καθ' ἑαυτοῦ γε κἀντεῦ-
θεν τὴν ψῆφον αὐτὸς ἀφίησιν ἄφυκτον, πονηρὰν με-
f. καθ' ὅλον τάπλασιν τῆς ἀγαθῆς πλάσεως καθόλον ἑαυτὸν ἀν-
θελόμενος, καὶ τὴν πρὸς τὰ χείρω μεταβολήν, δέον τὸ ἀ-
f. infinitivus γαθὸν συντηρήσας ἀμετάβλητον. Οὐκοῦν οὐ τὸν ἐπᾴδον-
τα

http://digital.slub-dresden.de/ppn345414306/367